6 Τί ὅτι ἐπεστρέψατε; [6]καὶ εἶπαν πρὸς αὐτόν Ἀνὴρ ἀνέβη εἰς συν-
άντησιν ἡμῶν καὶ εἶπεν πρὸς ἡμᾶς Δεῦτε ἐπιστράφητε πρὸς τὸν
βασιλέα τὸν ἀποστείλαντα ὑμᾶς καὶ λαλήσατε πρὸς αὐτόν Τάδε
λέγει κύριος Εἰ παρὰ τὸ μὴ εἶναι θεὸν ἐν Ισραηλ σὺ πορεύῃ ζη-
τῆσαι ἐν τῇ Βααλ μυῖαν θεὸν Ακκαρων; οὐχ οὕτως· ἡ κλίνη, ἐφ'
7 ἧς ἀνέβης ἐκεῖ, οὐ καταβήσῃ ἀπ' αὐτῆς, ὅτι θανάτῳ ἀποθανῇ. [7]καὶ
ἐλάλησεν πρὸς αὐτοὺς λέγων Τίς ἡ κρίσις τοῦ ἀνδρὸς τοῦ ἀνα-
βάντος εἰς συνάντησιν ὑμῖν καὶ λαλήσαντος πρὸς ὑμᾶς τοὺς λό-
8 γους τούτους; [8]καὶ εἶπον πρὸς αὐτόν Ἀνὴρ δασὺς καὶ ζώνην δερ-
ματίνην περιεζωσμένος τὴν ὀσφὺν αὐτοῦ. καὶ εἶπεν Ηλιου ὁ Θε-
9 σβίτης οὗτός ἐστιν. [9]καὶ ἀπέστειλεν πρὸς αὐτὸν ἡγούμενον πεντη-
κόνταρχον καὶ τοὺς πεντήκοντα αὐτοῦ, καὶ ἀνέβη καὶ ἦλθεν πρὸς
αὐτόν, καὶ ἰδοὺ Ηλιου ἐκάθητο ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους. καὶ
ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐτὸν καὶ εἶπεν Ἄνθρωπε τοῦ
10 θεοῦ, ὁ βασιλεὺς ἐκάλεσέν σε, κατάβηθι. [10]καὶ ἀπεκρίθη Ηλιου καὶ
εἶπεν πρὸς τὸν πεντηκόνταρχον Καὶ εἰ ἄνθρωπος τοῦ θεοῦ ἐγώ,
καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ καταφάγεταί σε καὶ τοὺς
πεντήκοντά σου· καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν
11 αὐτὸν καὶ τοὺς πεντήκοντα αὐτοῦ. [11]καὶ προσέθετο ὁ βασιλεὺς
καὶ ἀπέστειλεν πρὸς αὐτὸν ἄλλον πεντηκόνταρχον καὶ τοὺς πεντή-
κοντα αὐτοῦ, καὶ ἀνέβη καὶ ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐ-
τὸν καὶ εἶπεν Ἄνθρωπε τοῦ θεοῦ, τάδε λέγει ὁ βασιλεύς Ταχέως
12 κατάβηθι. [12]καὶ ἀπεκρίθη Ηλιου καὶ ἐλάλησεν πρὸς αὐτὸν καὶ εἶπεν
Εἰ ἄνθρωπος τοῦ θεοῦ ἐγώ εἰμι, καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ
καὶ καταφάγεταί σε καὶ τοὺς πεντήκοντά σου· καὶ κατέβη πῦρ ἐκ
τοῦ οὐρανοῦ καὶ κατέφαγεν αὐτὸν καὶ τοὺς πεντήκοντα αὐτοῦ.
13 [13]καὶ προσέθετο ὁ βασιλεὺς ἔτι ἀποστεῖλαι ἡγούμενον πεντηκόνταρ-
χον τρίτον καὶ τοὺς πεντήκοντα αὐτοῦ, καὶ ἦλθεν πρὸς αὐτὸν ὁ
πεντηκόνταρχος ὁ τρίτος καὶ ἔκαμψεν ἐπὶ τὰ γόνατα αὐτοῦ κατ-
έναντι Ηλιου καὶ ἐδεήθη αὐτοῦ καὶ ἐλάλησεν πρὸς αὐτὸν καὶ εἶπεν
Ἄνθρωπε τοῦ θεοῦ, ἐντιμωθήτω δὴ ἡ ψυχή μου καὶ ἡ ψυχὴ τῶν
14 δούλων σου τούτων τῶν πεντήκοντα ἐν ὀφθαλμοῖς σου· [14]ἰδοὺ
κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν τοὺς δύο πεντηκοντάρ-
χους τοὺς πρώτους καὶ τοὺς πεντήκοντα αὐτῶν, καὶ νῦν ἐντιμω-
15 θήτω δὴ ἡ ψυχὴ τῶν δούλων σου ἐν ὀφθαλμοῖς σου. [15]καὶ ἐλά-

5 fin. επεστραφηται(pro -τε) A† || 6 η κλινη > A† | εκει Ra. (cf. 4. 16)] οτι B *O*†, > rel. || 7 λεγων > B*OL*† || 8 αυτου > A† | ουτος] in Sy sub ÷, post εστιν tr. A† || 9 ηγουμ.] > B*L*, in *O* sub ÷, cf. 13 | και ηλθεν > B(†) || 10 του 1⁰ > B†: item in 12 || 11 προσεθηκεν A: item A† in 13 | και ανεβη > B† || 12 ειμι] ante εγω tr. A*L*†(non Sy), > B† | πυρ ult.] + ※θεου *O*-A† || 13 ετι > A† | πεντηκονταρχον τριτον > B†: cf. 9 | ηλθεν] pr. ※αναβας *O*† | προς αυτον 1⁰] > B*L*†, in *O* sub ÷ | αυτου 2⁰] εαυ. A† | δη > B*O*† | των πεντηκοντα > B† || 14 και τους πεντ. αυτων > B† | των δουλων σου] μου BSy†